27

# Ἑλλήσποντος

IX 18. Μετὰ δὲ τὴν μάχην (τὴν ἐν Σαλαμῖνι) ὁ Θεμιστοκλῆς ἀποπειρώμενος τοῦ Ἀριστείδου καλὸν μὲν εἶναι καὶ τὸ πεπραγμένον αὐτοῖς ἔργον ἔλεγε, κρεῖττον δὲ λείπεσθαι τὸ λαβεῖν ἐν τῇ Εὐρώπῃ τὴν Ἀσίαν ἀναπλεύσαντας εἰς Ἑλλήσποντον τὴν ταχίστην καὶ τὸ ζεῦγμα διακόψαντας. ἐπεὶ δ' Ἀριστείδης ἀνακραγὼν τοῦτον μὲν ἐκέλευε τὸν λόγον καταβαλεῖν, σκοπεῖν δὲ καὶ ζητεῖν, ὅπως τάχιστα τὸν Μῆδον ἐκβάλωσι τῆς Ἑλλάδος καὶ κατακλεισθεὶς ἀπορίᾳ φυγῆς μετὰ τοσαύτης δυνάμεως τράπηται πρὸς ἄμυναν ἐξ ἀνάγκης, οὕτω πέμπει πάλιν Ἀρνάκην εὐνοῦχον ὁ Θεμιστοκλῆς ἐκ τῶν αἰχμαλώτων κρύφα φράσαι τῷ βασιλεῖ κελεύσας, ὅτι πλεῖν ἐπὶ τὰς γεφύρας ὡρμημένους τοὺς Ἕλληνας αὐτὸς ἀποτρέψας σῴζεσθαι βασιλέα βούλοιτο. Πλουτ. Ἀριστείδης Σελ. 171

X Ἐκ τούτου Ξέρξης μὲν περίφοβος γενόμενος εὐθὺς ἐπὶ τὸν Ἑλλήσποντον ἠπείγετο, Μαρδόνιος δὲ τοῦ πεζοῦ τὸ μαχιμώτατον ἔχων . . .

. . . . . . ὑπελείπετο . . "

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ελλήσποντος

XVI Μετά δε την ναυμαχίαν (την εν Σαλαμίνι) . . . . . Θεμιστοκλής αποπειρώμενος Αριστείδου λόγω γνώμην εποιείτο λύειν το ζεύγμα των νεών εκπλεύσαντας εις Ελλήσποντον «όπως έφη την Ασίαν εν Ευρώπη λάβωμεν». - - - - - Πλουτ. Θεμιστοκλής Σελ. 335

Του δ' Αριστείδου «ου την ούσαν έδει γέφυραν ω Θεμιστόκλεις ημάς αναιρείν, αλλ' ετέραν, είπερ οιόν τε, προσκατασκευάσαντας εκβάλλειν δια τάχους τον άνθρωπον (Ξέρξην) εκ της Ευρώπης» . . . . . . επεί δε ταύτ' έδοξε, πέμπει τινά των βασιλικών ευνούχων εν τοις αιχμαλώτοις ανευρών - - φράζειν βασιλεί κελεύσας ότι τοις μεν Έλλησι δέδοκται τω ναυτικώ κεκρατηκότας αναπλείν εις τον Ελλήσποντον επί το ζεύγμα και λύειν την γέφυραν Θεμιστοκλής δε κηδόμενος βασιλέως παραινεί σπεύδειν επί την εαυτού θάλατταν και περαιούσθαι - - - . Ταύτα δ' ο βάρβαρος ακούσας και γενόμενος περίφοβος δια τάχους εποιείτο την αναχώρησιν»

# Ελλήσποντος

XVII . . . . . Περικλῆς . . . γράφει ψήφισμα πάντας Ελληνας τοὺς ὁπήποτε κατοικοῦντας Ευρώπης ἢ τῆς Ασίας παρακαλεῖν καὶ μικρὰν πόλιν καὶ μεγάλην, εἰς σύλλογον πέμπειν Αθήναζε τοὺς βουλευσομένους περὶ τῶν Ελληνικῶν ἱερῶν, ἃ κατέπρησαν οἱ βάρβαροι, καὶ τῶν θυσιῶν ἃς ὀφείλουσιν ὑπὲρ τῆς Ελλάδος εὐξάμενοι τοῖς θεοῖς ὅτε πρὸς τοὺς βαρβάρους ἐμάχοντο, καὶ τῆς θαλάττης, ὅπως πλέωσι πάντες ἀδεῶς καὶ τὴν εἰρήνην ἄγωσιν. Επὶ ταῦτα δ' ἄνδρες εἴκοσι τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων ἐπέμφθησαν, ὧν πέντε μὲν . . . . . . . πέντε δὲ τοὺς ἐν Ελλησπόντῳ καὶ Θρᾴκῃ μέχρι Βυζαντίου ἐπῄεσαν. . . . "

Πλουτ. Περικλῆς σ. 319.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ἑλλήσποντος

XXVI... οἱ δ᾽ ἐν Σάμῳ ταῦτα πυνθανόμενοι καὶ ἀγανακτοῦντες ὥρμηντο πλεῖν εὐθὺς ἐπὶ Πειραιᾶ, καὶ μεταπεμψάμενοι τὸν Ἀλκιβιάδην καὶ στρατηγὸν ἀποδείξαντες ἐκέλευον ἡγεῖσθαι καὶ καταλύειν τοὺς ~~τυράννους~~ τυράννους. ὁ δ᾽ οὐ . . . (Ἀλκιβιάδης) ὅσα ἐν ἀρχῇ μεγάλῃ γεγονώς . . . κωλῦσαι ἁμαρτεῖν; τότε γοῦν τὰ πράγματα τῇ πόλει περιφανῶς ἔσωσεν. εἰ γὰρ ἄραντες ἀπέπλευσαν οἴκαδε, τοῖς μὲν πολεμίοις εὐθὺς ἔχειν ὑπῆρχεν Ἰωνίαν ἅπασαν, Ἑλλήσποντον ἀμαχεὶ καὶ τὰς νήσους, Ἀθηναίοις δὲ πρὸς Ἀθηναίους μάχεσθαι τὸν πόλεμον εἰς τὴν πόλιν ἐμβαλόντας." — Πλουτ. Ἀλκιβιάδης. Σελ. 403.

XXVII. Βουλομένων δὲ τῶν ἐν ἄστει γ[illegible] κατιέναι τὸν Ἀλκιβιάδην αὐτὸς ᾤετο δεῖν μὴ κεναῖς χερσὶ - - - ἀλλ᾽ ἐνδόξως κατελθεῖν. διὸ πρῶτον μὲν ὀλίγαις ναυσὶν ἐκ Σάμου περιέπλει τὴν Κνιδίων καὶ Κῴων θάλασσαν· ἐκεῖ δ᾽ ἀκούσας Μίνδαρον τὸν Σπαρτιάτην εἰς Ἑλλήσποντον ἀναπλεῖν τῷ στόλῳ παντὶ καὶ τοὺς Ἀθηναίους ἐπακολουθεῖν, ἠπείγετο βοηθῆσαι τοῖς στρατηγοῖς. Καὶ κατὰ τύχην — Σελ. 404.

# Ἑλλήσποντος.

κατὰ τοῦτο καιροῦ συνήνυσε τρίτον ἀνθυπαίθρια. τριήρεσιν, ἐν ᾧ πάσαις ἐπὶ ταῖς ναυσὶ συνεπλεύσεις. κατὰ τὸ αὐτὸ καὶ διαναυμαχήσαντες περὶ Ἄβυδον ἀμφότεροι τοῖς μὲν ἡττώμενοι μέρεσι, τοῖς δὲ νικῶντες ἄχρι δείλης ἀγῶνι μεγάλῳ συνείχοντο. Καὶ παρέσχε μὲν ἐναντίαν δόξαν ἀμφοτέροις στρατοῖς, ὥστε θαρρεῖν τοὺς μὲν πολεμίους, θορυβεῖσθαι δὲ τοὺς Ἀθηναίους. Τάχυ δὲ σημεῖον ἄρας ἀπὸ τῆς ναυαρχίδος φοινικίδα εὐθὺς ἐπὶ τὰς κρατούσας καὶ διώκοντας τῶν Πελοποννησίων. Τρεψάμενος δ' αὐτὸς ἐδίωκεν τὰς μὲν καὶ προσαγόμενος ἔκοπτε τὰς ναῦς καὶ συνετίτρωσκε, τῶν ἀνδρῶν κινδυνευόντων καὶ Φαρναβάζου πεζῇ προσβοηθοῦντος αὐτοῖς καὶ μαχομένου παρὰ τὴν θάλατταν ὑπὲρ τῶν νεῶν. Τέλος δὲ τῶν μὲν πολεμίων τριάκοντα λαβόντες, ἀνασώσαντες δὲ τὰς αὑτῶν τρόπαιον ἔστησαν. . . .

– – –

Σεπ. 407 XXX . . . . . . . . Ἔπειτα αὐτὸς (Ἀλκιβιάδης) μὲν ἐκπλεύσας ἐκ τὸν Ἑλλήσποντον [illegible] καὶ Θρασύβουλον ἔχων ἀσφαλίσας ἑαυτῷ ὥραν τὸν καιρόν. . .

# Ελλήσποντος.

IX. . . . Και τον Ελλήσποντον έρημον καταλαβών (Λύσανδρος) επεχείρει Λαμψακηνοίς αυτός εκ θαλάσσης ταις ναυσί, Θώραξ δε τω πεζώ στρατώ συναντήσας εφ το αυτό προσέβαλλε τοις τείχεσιν. - - - Πλουτ. Λύσανδρος. Σ. 391

XX. Ο δε Λύσανδρος, ελθούσης της σκυτάλης προς αυτόν εις τον Ελλήσποντον διαταραχθείς και μάλιστα τας του Φαρναβάζου δεδιώς κατηγορίας εσπούδασεν εις λόγους αυτώ συνελθείν ως λύσων την διαφοράν. Σελ. 404.

XXIV. εν δε τη πρεσβεία τη εφ Ελλήσποντον εκπεμφθείς (Λύσανδρος) τον μεν Αγησίλαον ὀργήν εἶχεν, ου μην δε το τα δέοντα πράττειν, Σπιθριδάτην δε τον Πέρσην προσκεκρουκότα Φαρναβάζω, γενναίον άνδρα και στρατιάν έχοντα περί αυτόν αποστήσας ήγαγε προς τον Αγησίλαον. Σελ. 409.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ἑλλήσποντος

Πλ. βιο. Αγη-σίλαος Σελ. 155 — Εν τούτῳ ἐκπλεύσας (Λύσανδρος) καὶ ἐφ' Ἑλλήσποντον Σπιθριδάτην ἄνδρα Πέρσην ἀπὸ τῆς Φαρναβάζου χώρας μετὰ χρημάτων συχνῶν καὶ διακοσίων ἱππέων ἦγε πρὸς τὸν Αγησίλαον.

Σελ. 165 — ὡς δὲ διαβὰς (Αγησίλαος) τὸν Ἑλλήσποντον ἐβάδιζε διὰ τῆς Θράκης ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων, πέμπων δὲ πρὸς ἑκάστους πυνθανόμενος πότερον ὡς φιλίαν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ἑλλήσποντος.

XIV. . . . . . 5 Ἐπεὶ δὲ μεγάλα ταῖς ἐλπίσι περιβαλόμενος ὁ Φίλιππος εἰς Ἑλλήσποντον ἦλθε μετὰ πάσης τῆς δυνάμεως, ὡς Χερρόνησον ἐν ταὐτῷ καὶ Πέρινθον ἕξων καὶ Βυζάντιον, ὡρμημένων δὲ τῶν Ἀθηναίων βοηθεῖν οἱ ῥήτορες ἠγωνίσαντο τὸν Χάρητα στρατηγὸν ἀποσταλῆναι, καὶ πλεύσας ἐκεῖνος οὐδὲν ἄξιον τῆς δυνάμεως ἔπραττεν, οὐδὲ αἱ πόλεις ἐδέχοντο τὸν στόλον, ἀλλ' ὕποπτος ὢν πᾶσιν, ἐπλανᾶτο χρηματιζόμενος ἀπὸ τῶν συμμάχων καὶ καταφρονούμενος ὑπὸ τῶν πολεμίων, ὁ δὲ δῆμος ὑπὸ τῶν ῥητόρων παροξυνόμενος ἠγανάκτει καὶ μετενόει τοῖς Βυζαντίοις πέμψας τὴν βοήθειαν, ἀναστὰς ὁ Φωκίων εἶπεν, ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσιν ὀργίζεσθαι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν· «οὗτοι γὰρ ὑμᾶς ποιοῦσι φοβεροὺς καὶ τοῖς χωρὶς ὑμῶν σώζεσθαι μὴ δυναμένοις.» Κινηθεὶς δὲ ὁ δῆμος ὑπὸ τοῦ λόγου καὶ μεταπεσὼν ἐκεῖνον αὖθις ἐκέλευσεν ἑτέραν προσλαβόντα δύναμιν βοηθεῖν τοῖς συμμάχοις εἰς τὸν Ἑλλήσποντον· ὃ μεγίστην ῥοπὴν ἐποίησε πρὸς τὸ σωθῆναι τὸ Βυζάντιον . . . . . . . . . οὕτω μὲν ὁ Φίλιππος ἀπῆλθε τοῦ Ἑλλησπόντου δὶς καταφρονηθείς . . . . . .

Πλουτ. Φωκίων Κεφ. 13.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Ἑλλήσποντος.

XXIII. Τοῦτον φιλοφρονούμενον ἀναστρέψας ἐβάδιζε δι- Πλουτ. Σύλλας
ὰ Θετταλίας καὶ Μακεδονίας ἐπὶ τὸν Ἑλλήσποντον σελ. 447.
ἔχων μεθ' ἑαυτοῦ τὸν Ἀρχέλαον ἐν τιμῇ . . . .
σελ. 448.
– – –

XXIV. Συνῆλθον ἐν τῇ Τρῳάδι ἐν Δαρδάνῳ
Μιθριδάτης μὲν ἔχων ναῦς αὐτόθι διακοσί-
ας ἐνήρεις καὶ τῆς πεζῆς δυνάμεως ὁπλίτας μὲν
δισμυρίους, ἱππεῖς δὲ ἑξακισχιλίους καὶ συχνὰ τῶν
δρεπανηφόρων Σύλλας δὲ τέσσαρας σπείρας καὶ
διακοσίους ἱππεῖς . . – – – – – – . .
ἐξελέγξας δὲ τὰ πεπραγμένα . . – . . . προσέ-
ταξεν ἢ ποιεῖν τὰ ὡμολογημένα δι' Ἀρχελάου. Φήσαν-
τος δὲ ποιεῖν ἐκείνου ἠσπάσατο καὶ ἐφίλησεν αὐτὸν
Ἀριοβαρζάνην δὲ αὐτῷ καὶ Νικομήδην τοὺς βα-
σιλεῖς προσαγαγὼν ~~δὲ~~ διήλλαξεν . . .

# Ἑλλήσποντος

Πλουτ. Λούκουλλος σελ. 509.

XII. Λούκουλλος δὲ πρῶτον ἐν Κυζίκῳ παρελθὼν ἀπήλαυσεν ἡδονῆς ἢ εὐφροσύνης πρεπούσης· εἶτα ναυτικὸν ἐξηρτύετο τὸν Ἑλλήσποντον ἐπιπορευόμενος. Εἰς δὲ Τρῳάδα καταχθεὶς ἐσκήνωσεν ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης . . . . . . . .